Ὅλοι προθέμενοι, ἐν Οὐρανοῖς τὴν ἐλπίδα, θησαυρὸν ἀσύλητον, ἑαυτοῖς οἱ Ἅγιοι, ἐθησαύρισαν. δωρεὰν ἔλαβον, δωρεὰν ἐδίδοσι, τοῖς νοσοῦσι τὰ ἰάματα, χρυσὸν ἢ ἄργυρον, Εὐαγγελικῶς οὐκ ἐκτήσαντο. ἀνθρώποις τε καὶ κτίσεσι, πᾶς ἐνεργείας μετέδοσαν. ἵνα διὰ πάντων, ὑπήκοοι γενόμενοι Χριστῷ, ἐν παῤῥησίᾳ προσβάσιν, τῷ θεῷ ψυχῶν ἡμῶν.

Ὅλῳ ἐβδελύξαντο, τῷ ὄντι γῆς φθειρομένῳ, Οὐρανοπολῖται δὲ, ἐν σαρκὶ ὡς Ἄγγελοι ἐχρημάτισαν. ἡ ὁμόφρον σύσκηνος, ξυνωρὶς ὁμόζηλος, τῶν Ἁγίων καὶ ὁμόψυχος. διὸ τοῖς θαύμασι, πᾶσι τὰς ἰάσεις βραβεύουσιν, ἀνάργυρον παρέχοντες, τῷ Θεῷ εὐεργεσίαν τοῖς χρῄζουσιν. ὃς ἐν αἰτησίοις, ὑμνήσωμεν ἀξίως ἑορταῖς, ἐν παρρησίᾳ πρεσβεύοντας, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ὅλῳ εἰσοικήσασα, ἐν ἑαυτοῖς τῷ Τειάδα, δυὰς ἡ ἀοίδιμος, Κοσμᾶς καὶ Δαμιανὸς οἱ θεόφρονες. ὡς κρουνοὶ βλύζουσιν, ἐκ πηγῆς νάματα, ζωηφόρα τῶν ἰάσεων, ὧν καὶ τὰ λείψανα, πάθη δι' ἀφῆς θεραπεύουσι, καὶ μόνα τὰ ὀνόματα, νόσους ἐκ βροτῶν ἀπελαύνουσι. πιστῶν τῶν προσφύγων, σωτῆρες λιμένες ἐν Χριστῷ. καὶ παρρησίᾳ πρεσβεύουσιν, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ τὸ Ἁγίου Κωνσταντίνου, ἦχος α'.

Τῶν Οὐρανίων παγμάτων.

Τοῦ Κωνσταντίνου τὰ ἆθλα, δεῦτε τιμήσωμεν. δι' ὧν ἡμῖν πηγάζει, ἡ ἀσίγητος χάρις, Χριστὸς τὸ ζωοδότης, καὶ τὸ κραταιὸς, τοὺς ἐχθροὺς τροπωσάμενος. τῶν παθῶν καὶ Δαιμόνων καὶ ὀδυνῶν, τῷ ὄντι ἐκομίσατο.

Τῶν Λειψάνων σου κόνις, θαυμάτων βλύζει πηγάς. τῶν κεραυνῶν τὴν λύσιν, καὶ λοιμῶν καὶ κακῶν, τῷ λύτρωσιν παρέχει, διόπερ καὶ νῦν, Κωνσταντῖνε πολύαθλε, ὅσοι λαὸς ἱκετεύει ὅπως ἀεὶ, διασώζηται τῆς βλάβης αὐτῶν.

Σοῦ τὸ μνημόσυνον Μάρτυς, διδαχάζει ξανῶς. ἐκεῖνα ὡς ῥόδα, τὰ πολύαθλα πάθη, τῶν σῶν ἀγωνισμάτων, δι' ὧν ἀθανεῖς, ἐμπαθεῖς τε καὶ ἄῤῥωστοι, τῷ θρώσιον πλυνῶνται, ταῖς σαῖς δρυαῖς. ὑμνοῦσι τὸν σωτῆρα Χριστόν.

Δόξα. ἦχος δ'.

Σοὶ χύλη αἵματος τοῦ Μαρτυρίου, κοσμηθεῖσα ἡ Ἐκκλησία τοῦ Θεοῦ, ἡλιακὰς ἀκτῖνας ἐκπέμπει, Κωνσταντῖνε πολύαθλε. τῷ γὰρ Σταυρῷ καθοπλίσας ἑαυτὸν, καὶ τὸ θανεῖν ὑπὲρ Χριστοῦ, προθύμως ἐλόμενος. γενναίως προῆλθες, τὰ ἀλογίστως αὐτεκατέστης, καὶ κατήχησας πάσας, τὰς δόξας τῶν δαιμόνων, ὡς νικητὴς στρατιώτης ὤφθης τοῦ Χριστοῦ. διὰ δυσωπήσου, ὡς παῤῥησίαν ἔχων, μαρτύρων ἐγκαλλώπισμα, πρεσβεύειν τῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Ὁ διὰ σὲ Θεοπάτωρ.

Εἴσοδος.

Εἴσοδος, τὸ Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος, πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. τὶς ἀναγγελεῖ τοῦτο ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τὶς ἀκουστὰ ποιήσει ἡμῖν; ἀγαγέτωσαν τοὺς Μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ ἀκουσάτωσαν, καὶ εἰπάτωσαν, ἀληθῆ. γινεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεὸς, καὶ ὁ παῖς ὃν ἐξελάμην. ἵνα γνῶτε καὶ πιστεύσητέ μοι καὶ συνῆτε, ὅτι ἐγώ εἰμί. ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. ἐγὼ ἀπήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν Θεὸς ἀλλότριος. ὑμεῖς ἐμοὶ Μάρτυρες, καὶ ἐγὼ Μάρτυς, Κύριος ὁ Θεός. ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου, ἐξαιρούμενος. ποιήσω, καὶ τὶς ἀποστρέψει αὐτό; ἅπερ λέγει Κύριος ὁ Θεὸς, ὁ λυτρούμενος ὑμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος, τὸ Ἀνάγνωσμα.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία συντριμμα· οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ, καὶ γὰρ ἐν ὄψει ἀνθρώπων, ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται. ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς, καὶ εὗρεν αὐτοὺς, ἀξίους ἑαυτοῦ. ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς, καὶ ὡς ὁλοκάρπωμα θυσίας, προσεδέξατο αὐτούς. καὶ ἐν καιρῷ Ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ Βασιλεύσει αὐτῶν Κύριος, εἰς τοὺς αἰῶνας. οἱ πεποιθότες ἐπ' αὐτὸν, συνήσουσιν ἀλήθειαν. καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ, προσμενοῦσιν αὐτῷ. ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις αὐτοῦ, καὶ Ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος, τὸ Ἀνάγνωσμα.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ ὑψίστῳ. διὰ τοῦτο λήψονται τὸ Βασιλεῖον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου. ὅτι τῇ δεξιᾷ αὐτοῦ, σκεπάσει αὐτοὺς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. ἐνδύσεται θώρακα δικαιοσύνης, καὶ περι-

θήσ-

ειθήσεται κόρυθα, κείσιν αὐυπόκριτον. λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀκόπτομον ὀργὴν εἰς ῥομφαίαν. σωσεκπολεμήσει αὐτῷ ὁ κόσμος ὅπλα τὰς ἀθλοφόρους. πορεύσονται εὐσοχοι βολίδες ἀσραπῶν, καὶ ὡς ἀπὸ δικύκλου τόξου, τῶν νεφῶν ὑπεσκοπῶν ἀλεῦνται, καὶ ἐκ πεζοβόλου θυμοῦ, πλήρης ῥιφήσονται χάλαζαι. ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης. ποταμοὶ δὲ συγκλύσουσιν ἀκατόπτως. ἀντιτάξεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαίλαψ ἐκλυμήνει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοφραγία, ἀνιχνεύσει θρόνους δυναστῶν. ἀκούσατε ἐν βασιλεῖς καὶ συνέτε, μάθετε δικασαὶ περάτων γῆς. ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ὅπλοις ἐθνῶν. ὅτι ἐδόθη ὑμῖν παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ ὑψίστου.

Εἰς τὸν λιτὸν ἰδιόμελα. ἦχος, β'.

Πηγὴ τῶν ἰαμάτων, σὲ καὶ μόνον, ἐθεράπευσε τὰ ἔτη. ἡ σκηνὴ τῶν Ἀναργύρων, ἅπαν τὸ πλῆθος, θεραπεύει τῶν νοσούντων. ἀσυνδέτης γὰρ ὑπάρχει καὶ ἀδαπάνητος, ὁ πλοῦτος τῶν Ἁγίων. ταῖς αὐτῶν ἱκεσίαις Χριστὲ, ἐλέησον, καὶ σῶσον ἡμᾶς.

Μεγάλων ἀξιωθέντες δωρεῶν παναοίμνοι, ἐν παπεινότητι βίου, ἐν τῇ γῇ ἐπολιτεύσασθε. καὶ διερχόμενοι πανταχοῦ, δωρεαὶ τῶν νοσούντων, τὰ πάθη ἰώμενοι, ὥφθητε Ἀγγέλων συνόμιλοι. Κοσμᾶ σὺν τῷ Δαμιανῷ τῷ Σοφῷ, ἀδελφοὶ περιπόθητοι, καὶ ἡμῶν τὰ πάθη, ταῖς ψυχαῖς ἡμῶν ἰάσασθε.

Τῷ Ἁγίῳ Κωνσταντίνῳ.

Ὑπερφρονήσας τῶν τῆδε γενεῶν, Παμμάκαρ Κωνσταντῖνε πανσεβάσμιε, πρὸς τὸ σκάμμα ἀνδρείως ἔπεσύσας, καὶ τῇ πάλῃ δι' αἵματος. σὺ ἐν τέχνοις μάρτυς, τὸν ὑφήφανον καθελὼν, ἐκόμισω τῆς νίκης τὸ σέφος, παρὰ Χριστῷ τῷ Θεῷ ἡμῶν. ἐκλιπαρῶν δι' ἡμᾶς, μὴ ἐλλείπῃς ἀθλοφόρε, εἰς τὸ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἕτερον. ἦχος, ά.

Τὸν ἀοίδιμον τῷ Χριστῷ, Κωνσταντῖνον τὸν ἀοίδιμον, συνελθόντες οἱ πιστοὶ, ἐγκωμίοις μαρτυρικοῖς, καὶ ᾠδαῖς πνευματικαῖς δοξάσωμεν. ἔτος γὰρ ἐπὶ τὸν πρὸς ἐχθρὸς ἀόρατος πόλεμον ὑπελθὼν, καὶ νομίμως ἀθλήσας, ἀξίως τὸ τῆς νίκης βραβεῖον ἐδέξατο. καὶ νῦν ἐν οὐρανοῖς μετ' Ἀγγέλων χορεύων, τῷ ἀκαταλύτῳ χορείᾳ, παρίσταται τῇ οἰκουμένῃ, ἐρυσθαι, καὶ τὸ μέγα ἔλεος.

Δόξα.

Δόξα. ἦχος, πλ. δ'.

Τίς μὴ θαυμάσει, τίς μὴ δοξάσει, τίς μὴ ὑμνήσει πιστῶς, τῶν σοφῶν καὶ Ἐνδόξων Ἀναργύρων τὰ θαύματα. ὅτι καὶ μετὰ τὸν Ἁγίαν αὐτῶν μετάστασιν, πᾶσι τοῖς προσρέχουσι πλουσίως τὰ ἰάματα, καὶ τὰ τίμια καὶ Ἅγια λείψανα αὐτῶν, βρύουσι τὴν χάριν τῆς ἰάσεων. ὦ δίας Ἁγία, ὦ τίμιαι κάραι, ὦ σοφία καὶ δόξα, τῆς ἐκ Θεοῦ δοθείσης ἡμῖν χάριτος. διὸ ὕμνοις, ἀσωμεν τῷ μόνῳ Θεῷ, τῷ ἀναδείξαντι τούτους, εἰς ἰατρεῖαν τῶν ψυχῶν, καὶ τῶν σωμάτων ἡμῶν.

Καὶ νῦν. Δέσποινα πρόσδεξε.

Εἰς τὸν στίχον. ἦχος, ά. Πανσέβαστοι Μάρτυρες ὑμᾶς.

Κωνσταντῖνε Ἐνδόξε ταῖς σαῖς, νοεραῖς τῶν λογίων σου, ἀναπνοαῖς τὰς ἄφρονας. τέλος Μακάριον, καὶ πυγμοῖς ὑδάτων, ὑπεδέξω δράκοντα, ἐν τούτοις ἀποπνίξας τὸν ἄσαρκον. διὸ ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὸν εἰρηνάρχην, καὶ τὸ μέγα ἔλεος.

Θαυμαστὸς ὁ Θεὸς.

Κόσμος ὡραιότατος δειχθείς, ἀθλητῶν ἐν χάριτι, μεπεβιβάσθης γηθόμενος, πρὸς ἁρμόσμια. βασιλεῖ τῶν ὅλων, ἀληθῶς παρίσασαι, σὺν πάσαις ἀγγελικαῖς δυνάμεσι. μεθ' ὧν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὸν εἰρηνάρχην καὶ τὸ μέγα ἔλεος.

Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ.

Μάρτυς ἀξιάγασε τὰ σὰ, λείψανα γηθόμενοι, σῶν ἀπαζόμεθα, καὶ ἀῤῥύομενοι, χάριν ἰαμάτων, πόθῳ σὲ γεραίρωμεν, καὶ πίστει ἐκτενῶς δυσωπῶμέν σε. καὶ νῦν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὸν εἰρηνάρχην καὶ τὸ μέγα ἔλεος.

Δόξα. ἦχος, δ'.

Εὕτε τὸν πιστῶν τὸ σύστημα, Πνευματικὸν χορείαν ὑπερτίμωμεν, καὶ τὸν ἀθλοφόρον Χριστὸν τὸν Θεὸν, ἐν ὕμνοις τιμήσωμεν, Κωνσταντῖνον τὸν πανεύδοξον. σήμερον ὡς Ἥλιος ἀνέτειλε, καὶ κατεφώτισε τὰς διανοίας τῶν πιστῶν, τῶν ἐν πίστει καὶ πόθῳ ὑπερτελούντων, τὴν μνήμην αὐτοῦ τὸν Πανσεβάσμιον.

Καὶ νῦν. Νεῦσον προσκλήσεσι.

Τροπάριον. Ἅγιοι Ἀνάργυροι. Καὶ τὰ Ἁγία. Οἱ Μάρτυς σε Κύριε.

Καὶ νῦν. Τὸ ἀπ' αἰῶνος ὑπόκρυφον.

Εἰς τὸν ὄρθρον. καθίσματα τῶν Ἁγίων. ἦχος, πλ. δ'.

Τῶν Σοφίαν καὶ λόγον.

Ἰάματων δοτῆρα θαυματουργόν, καὶ θαυμάτων λαμπτῆρα φωτογόν. τοῖς πᾶσιν ἐξέλαμψας, τῇ τῶν Πνεύματος χάριτι. τῶν παθῶν γὰρ τὴν φλόγα, τῇ πίστει δροσίζοντα. τῶν πιστῶν ἐν ταύτῃ τὸ φρόνημα θάλποντα. ὅθεν ἰαζεῖρ, τῶν ψυχῶν κεκτημένοι. τῷ θείῳ τεμένει σου, ἐν αὐτῷ καταφεύγομεν, Θεόφορε Κωνσταντῖνε. πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν Ἁγίαν μνήμην σου.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Τὴν βασίλισσαν πάντες δεῦτε πιστοὶ, τὸν μητέρα τοῦ παντων δημιουργοῦ, ἐν φωναῖς μεγαλύνομεν, καὶ ὑμνοῦντες βοήσωμεν. ἡ τῆς χαρᾶς αἰτία, Παρθένε παναμωμητε, τοὺς τιμῶντας σε σῶζε, καὶ φύλαττε πρεσβείαις σου, ἐκ πειρασμῶν παντοίων, καὶ νόσων καὶ θλίψεων. ἔχεις γὰρ ὡς Μήτηρ τοῦ Θεοῦ παῤῥησίαν, οἰκτείρειν καὶ διδόναι, νοσημάτων τὴν ἴασιν, διὰ τοῦτο βοῶμέν σοι. πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς προσκυνοῦσιν ἐν πίστει, τὸν παναγιον τόκον σου.

Μετὰ τὸν β'. στιχολογίαν. ἦχος, δ'. Ταχὺ προκαταλαβε.

Σκέπασον λαμπρύνασα τὸ ὀπτικὸν τῆς ψυχῆς, ἀκτῖσιν ἀθλήσεως φωταγωγεῖς τοὺς πιστοὺς, Κωνσταντῖνε Μακάριε. ὅθεν σε τὴν Ἁγίαν, καὶ φωσφόρον ἡμέραν, πίστει ὑμνολογοῦμεν, καὶ πιστῶς σοι βοῶμεν. ὡς ἔχων παῤῥησίαν πρὸς Χριστὸν, πρέσβευε σωθῆναι ἡμᾶς.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Παρθένε Παναμωμε, τὸν ὑψιστον, Θεὸν ἡ κυήσασα, σωμὰ ἀσωμάτοις αὐτὸν. ἀπαύστως ἱκέτευε, ἄφεσιν τῶν πταισμάτων, καὶ διόρθωσιν βίου, δοῦναι ἡμῖν πρὸ τέλους, τοῖς ἐν πίστει καὶ πόθῳ, ὑμνοῦσί σε χαίρειν, μόνη παναμωμητε.

Μετὰ τὸν πολυέλεον. ἦχος, δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὡς στρατιώτης τοῦ Χριστοῦ ἀκαπαύστως, καὶ ἔμπαιχος ἀθλητὴς καὶ ἀήττητος. τῶν ἀθλητῶν τὸ καύχημα Πανεύδοξε, σέβας τὸ ἀμάραντον οὐρανόθεν ἐκτήσω, χαίρων σὺν Ἀγγέλοις δὲ, καὶ χοροῖς ἁπάντων. ταῖς σαῖς πρεσβείαις σῶζε τοὺς πιστῶς, ἀνυμνοῦντας τὴν θείαν σου ἄθλησιν.

Καὶ νῦν.

Ὀπισωπήσωμεν ποτε Θεοτόκε, τὰς δωρεάς σου λαλεῖν οἱ ἀνάξιοι. εἰμὶ γὰρ σὺ προῖσασο πρεσβεύουσα, τοῖς ἡμᾶς ἐῤῥύσατο

ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; ἐκ ποίων δεινῶν. Δέσποινα ἐκ σοῦ, σοὺς γὰρ δούλους σῴζεις ἀεὶ, ἐκ παντοίων δεινῶν.

Οἱ ἀναβαθμοί. τὸ πρῶτον Ἀντίφωνον, τοῦ τετάρτου ἦχου.

Προκείμενον. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.

Εὐαγγέλιον. Ζήτει Ἀπριλίου εἰκοστῇ ἕβδμῃ. ὁ Ν'.

Δόξα. Τῆς τοῦ Ἀθλοφόρου. Καὶ νῦν.

Τῆς τῆς Θεοτόκου.

Ἐλέησόν με ὁ Θεός. ἦχος, πλ. β'.

Ἡμέραν ἡ οἰκουμένη πᾶσα, ταῖς τοῦ Ἀθλοφόρου αὐγάζεται ἀκτῖσι. καὶ ἡ τοῦ Χριστοῦ Ἐκκλησία, τοῖς ἄθθεσιν ὡραϊζομένη, Κωνσταντῖνε βοᾷ σοι. θεράπων Χριστοῦ, καὶ προστάτα θερμότατε, μὴ ἐλλείπῃς πρεσβεύων, ὑπὲρ τῶν Ψυχῶν ἡμῶν.

Τὸ, Σῶσον ὁ Θεός, τὸν λαόν σου. Οἱ Κανὼν τῆς Θεοτόκου.

Εἰς, ς'. καὶ τῶν Ἁγίων Ἀναργύρων, εἰς δ'.

καὶ τοῦ Ἁγίου Κωνσταντίνου, εἰς δ'.

Οἱ Κανὼν τῆς Θεοτόκου.

Ὠδὴ, ά. Ἁρματηλάτην Φαραὼ ἐβύθισε.

Χαῖρε καθάρας παλαιᾶς ἡ λύτρωσις, καὶ δόλογίας πηγή. χαῖρε ζωῆς Μήτηρ, ἅδου ἡ καθαίρεσις, θανάτου ἡ ἀναίρεσις. χαῖρε λύσις τῆς λύπης, χαρᾶς χωρίον ἄῤῥυχορον, χαῖρε Θεοτόκε Παναμωμητε.

Ῥημα τὸ λόγον, λογικὸν καὶ ἔμψυχον, χαῖρε Παναμωμε. Δαβιτικὸν χαῖρε, ἅρμα πολυώνυμον, ἅρμα μυστικοπλάστου, χαῖρε ἡ ἀσυγκείτως, τὸν Χερουβὶμ ὑπερέχουσα, καὶ τὸν Σεραφὶμ, ὑπερφέρουσα.

Ἱερωτέρα νοερῶν δυνάμεων, χαῖρε Θεόνυμφε. χαῖρε κτισῆς πάσης, ἀνωτέρα φύσεως, χαῖρε Θεοῦ παλάτιον, χαῖρε πύλη Θρόνε, χαῖρε λυχνία πολύφωτε, χαῖρε μυστόνυμε Δέσποινα.

Ἅβδος ἐκ ῥίζης Ἰεσσαὶ βλαστήσασα, χαῖρε ἀμόλυντε, χαῖρε βλαστῶ ῥάβδε, τῆς Ἀαρωνίτιδος, διαγραφεῖσα πρότερον, μυστικῶς καὶ βαθέως, ὡς γὰρ ἐκείνη τὰ κάεια, ἔπω τὸν Χριστὸν σὺ ἐξώθησας.

Πειρογάμως τὸν Χριστὸν ἐκύησας. τὸ καθ' ἡμᾶς δι' ἡμᾶς, ἀνεκλήφατα φύσιν, Παῤῥαγνε καὶ ἄῤῥεπτον, κατ' ἄμφω διαμένουσαν

πά. ὃν δυσώπει ἀπαύστως, ἁμαρτιῶν μοι δωρήσασθαι, καὶ τῆς πει-
ρασμῶν ἀπολύτρωσιν.

Δεδοξασμένα περὶ σοῦ λελάλληται, ἐν γενεαῖς γενεῶν. ἡ τὸν Θεὸν
λόγον, ἐν γαστρὶ χωρήσασα, Ἀγνὴ δὲ διαμείνασα, Θεοτόκε
Παρθένε, διό σε πάντες γεραίρομεν, τῶν μετὰ Θεὸν προστασίαν
ἡμῶν.

Ἕτερος τῆς Ἁγίων Ἀναργύρων. Ἦχος, δ'.

Τῷ ὁδηγήσαντι Θεῷ.

Τοὺς ἐκ Θεοῦ δεδομένους, πᾶσιν ἡμῖν χάριτι, Θαυματουργοὺς καὶ
Γιατρούς, τῆς Ἐκκλησίας τὸ σήριγμα, τῆς δυσεβῶν τὸ κρα-
ταίωμα. σήμερον ἀγαλλιάσεως φωναῖς ὑμνολογήσωμεν.

Οἱ ἐν βυθῷ νοσημάτων, καὶ χαλεπῷ κλύδωνι, ἀῤῥωστημάτων χα-
λεπῶν, πεκυμιζόμενοι πάντοτε. δεῦτε λιμένι προσέλθωμεν χαί-
ροντες, τῆς Ἀναργύρων ἰατρῶν ὅπως σωθείημεν.

Οἶκος δειχθέντες τοῦ Θεοῦ καὶ Παντεργέτου Πνεύματος, ταῖς ὑῤῥώ-
τοις ἀρεταῖς, τὸν ἡμῖν Παμμακάριστοι, τὸν Θεῖον οἶκον δειπ-
νύετε πέλαγος, ταῖς Ἐπισκέψεσιν ὑμῶν Θείων ἰάσεων.

Θεοτοκίον.

Ἐν τῷ Θεῷ τὸ χωρίον, τῶν νοητῶν ζάπεζαν, τῶν καλλονῆ τοῦ
Γαλαάδ, τῶν ἀδιάβατον γέφυραν, καὶ ἀδιάσειστον κλίμακα,
Ἄχραντε, αἱ γενεαὶ τῆς γενεῶν πόθῳ μακαρίζομεν.

Ἕτερος τοῦ Ἁγίου Κωνσταντίνου. Ἦχος, πλ. δ'.

Γραῦν διοδεύσας ὡσεὶ ξηράν.

Τὸν Θεῖον ἀγῶνα Μάρτυς Χριστοῦ, δεινωνισμένος, καὶ τὸν δρό-
μον τετελεκὼς, τῶν πίστιν τηρήσας τῆς ἐνθέου, δικαιοσύνης
εὗρες τὸν στέφανον.

Ὁ Γραικίος Ἐνδοξε χορυφαῖος, σοῖς τοῖς ἀσωμάτοις, χηματίζων τὰς
ἐπὶ γῆς, σὲ προσκαλουμένους ἐκ κινδύνων, καὶ θλίσεως ἐκλύ-
τρωσε.

Μεγίστην τῶν δόξαν παρὰ Χριστοῦ, λαβὼν ἀθλοφόρε, τῶν γῆν
πᾶσαν περιπολεῖς. ῥυόμενος πάντας τοὺς ἐν πίστει, καὶ βύλα-
βεία ἀυμνοῦντάς σε.

Θεοτοκίον.

Σοφίαν καὶ λόγον τὸν τοῦ Παιδὸς, ἀφράστως τεκοῦσα, τῆς ψυχῆς μου
τὸ χαλεπὸν, θεράπευσον τραῦμα καὶ καρδίας, τῶν ἀλγηδόνα
καταπραΰνον.

Η' Κατάβασία. Ἀνοίξω τὸ στόμα μου.

Ὠδὴ, γ'. Ὁ Οὐρανίας ἀφίδος.

Τὸ Σχυρότατον ὅπλον, χαῖρε πιστῶν Δέσποινα, χαῖρε κραταὶ προ-
στασία, χαῖρε αὐτίληψις, χαῖρε βοήθεια, ἁμαρτωλῶν χαῖρε τεῖ-
χος, τῆς προσκαλουμένων σε, χαῖρε τοῦ Κόσμου χαρά.

Ὠφελείας λιμένα, χαῖρε σεσῳσμένον ἔρεισμα, χαῖρε τοῦ Ἀδὰμ καὶ τῆς
Εὔας, ἡ ἐπανάκλησις, δι' ἧς ἀπέλαβον, τῶν παλαιὰν δύκλη-
σιαν. χαῖρε ἡ ἀνοίξασα πάλιν τὸ δέσποιον.

Χαῖρε ἄφλεκτε βάτε, χαῖρε φωτὸς ὄχημα, χαῖρε τοῦ Ἡλίου νε-
φέλη, χαῖρε προέδοξε, καὶ προλάμπτε, τοῦ βασιλέως καθέ-
δρα, χαῖρε πόλις ἔμψυχε, Χριστοῦ τοῦ ζῶντος Θεοῦ.

Παρόραμα Μήτερ, χαῖρε Ἀγνὴ Δέσποινα, χαῖρε ἡ ἀνήρωτος
χώρα, καὶ ἀγεώργητος, ἡ γεωργήσασα, τὸν γεωργὸν τῆς ἁπάν-
των, χαῖρε γῆ, ἀληθειαν ἐξανατείλασα.

Νοικήσας Παρθένῳ, σωματικῶς Κύριε, ὤφθης τοῖς ἀνθρώποις,
ὡς ἔπρεπε θεαθῆναί σε. ὃν καὶ ἀνέδειξας, ὡς ἀληθῶς Θεοτόκον,
καὶ πιστῶν βοήθειαν, μόνε φιλάνθρωπε.

Ἀλεπαῖς ἀῤῥωστίαις, καὶ νοσεροῖς πάθεσιν, ἐξεταζομένῳ Παρθέ-
νε, σύμοι βοήθησον, τῆς ἰαμάτων πηγῆς, ἀνελλιπῶς γινώσκω,
θησαυρὸν Παναμώμε, τὸν ἀδαπάνητον.

Ἄλλος. Ὁ στερεῶν βροντῶν, καὶ κτίζων πνεῦμα.

Τὰς σεπτὰς Θείων Ἀναργύρων, ταῖς τελεσηλίοις λάμψεσι, καταυ-
γαθεῖσα πανδυκλεῶς, ἰαμάτων δαδουχίαις, φωταγωγεῖ τὰ πέ-
ρατα, εἰς δόξαν τοῦ Θεοῦ ἡμῶν.

Γηγενικαῖς χοιαῖς συνημμένοι, καὶ παρεστῶτες Ἅγιοι, θρόνῳ δό-
ξης πανδυκλεῶς, ἐπισκέπτεσθε τοὺς κάτω, ἐν συμπαθείᾳ, πάν-
τοτε δεινῶν ἐξαιρέμενοι.

Πριδικῶς τῶν Θείαν Μοναρχίαν, θεολογοῦντες Ἅγιοι, ἐπολιτεύ-
σασθε ἐπὶ γῆς, ὥσπερ Ἄγγελοι, τὸ θεῖον ἀποπληροῦντες βού-
λημα, καὶ νῦν μακαρίζεσθε. Θεοτοκίον.

Φοβερὸς ταῖς ἄνω στρατιαῖς, ἐν σοὶ ἀφράστως ὤκησε, καθα-
ρωτέραν δύρικῶς, ὁρατῆς καὶ νοεμένης, Ἀγνὴ Παρθένε φύσεως,
διό σε μακαρίζομεν.

Ἄλλος. Σὺ εἶ τὸ στερέωμα.

Ὅλος πυρακτέμενος, τῇ θείᾳ σοργῇ Ἐνδοξε, πῦρ καὶ δισμὰ,
ξίφη καὶ βασάνους, ὥσπερ ὄναρ λελόγισαι.

Ὑμνοις τὸν ποιήσαντα, προσομιλῶν δεινοῖς μόχθοις, Μάρτυς Σοφὲ, καὶ τὴν θεραπείαν, τῆς μολόπων δεχόμενος.
Ἁβδῷ δυναμούμενος τῇ θείᾳ, ἐχθρὸν φρύαγμα, ὡς ἀθλητὴς, Μάρτυς γαννιόφρων, δυσκόλως ἐπαπείνωσας.

Θεοτοκίον.

Ἵνα προτυπώσησε, τὴν ἀφθορον Ἁγνὴ κύησιν, βάτος πυρὶ, ὤφθη καιομένη, ἀδαμιαῖος φλεγομένη δέ.

Καθίσματα. Ἦχος πλ. δ'.

Τὴν Σοφίαν καὶ λόγον ἐν σοὶ γαστρί.

Ἀμάτων φωστῆρες Θαυματουργοὶ, καὶ θαυμάτων λαμπτῆρες φωταγωγοὶ, πᾶσιν ἀνεδείχθητε, τῇ τῶν Πυθμάτος χάριτι. τῆς γὰρ παθῶν τὴν φλόγα, τῇ πίστει δροσίζοντες, τῆς πιστῶν ἐν πάσῃ, τὸ φρόνημα θάλπετε: ὅθεν ἰατρεῖον, τῆς ψυχῶν κεκτημένοι, τὸν Θεῖον, Ναὸν ὑμῶν, Θεοφόροι Ἀνάργυροι, τοῖς ἐν πίστει προσρέχουσι. προσβάσατε Χριστῷ τῷ Θεῷ, τῆς πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν Ἁγίαν μνήμην ὑμῶν.

Δόξα τῶν Μαρτύρων. Ἦχος, δ'. Ταχὺ προκατάλαβε.

Ὁ Μάρτυς Κωνσταντῖνος, ἀγωνισάμενος, τὸν δόλιον ἤχμισε, καὶ σεφανίτης σεβάσμιος, Χριστὸν ἐχρημάτισεν. ὅθεν ταῖς οὐρανίαις, νῦν σωθῆναι χορείαις, δόξης ἀδιαδόχου, ἐπαξίως μετέχων. διὸ τὴν ἱερὰν αὐτοῦ μνήμην, τελοῦμεν πιστῶς.

Καὶ νῦν. Θεοτοκίον.

Μόνη κυήσασα, τὸν ποιητὴν τῶν πάντων, ἡ μόνη κοσμήσασα, τὴν ἀνθρωπότητα, τῷ τόκῳ σου ἄχραντε. ῥῦσαι με τῆς παγίδος, τοῦ δολίου βελίαρ, σῶσόν με ὅτι πέφυκα, τῆς Χριστοῦ θελημάτων. αὐτὸν ἐκδυσωπῆσαι ἐκτενῶς, ὃν ἐσωμάτωσας.

ὨΙδὴ δ'. Ὁ Εἱρμός.

Ἀνατολὴ, τοῦ πατρικοῦ ἀπαυγάσματος, καὶ Ἡλίου τοῦ ἐξαναστείλαντος, προωσφόρε, ἐκ τοῦ παθους. χαῖρε Θεοτόκε, νεφέλη κούφη καὶ ἔμψυχε, Παρθένε χαῖρε Μήτερ, χαῖρε δεδοξασμένη Παναμωμε.

Γῆ τὸ χρυσοῦν θυμιατήριον Δέσποινα, τοῦ ἀσέκτου καὶ ἀΰλου ἀνθρακος, ἐν ᾧ ἐκαύθη διαῤῥαγεὶς, τῆς ἀδαμιαίας, φλογὸς τὸ χειρόγραφον. διόσου χαῖρε Ἰκράζω, δι' ἧς πᾶσιν ἐδόθη, ἡ χαρὰ καὶ ζωὴ καὶ ἀπολαυσις.

Γῆ τῶν βροτῶν, δόξα καὶ κλέος καὶ καύχημα, καὶ Ἀγγέλων σέβας καὶ διάδημα. διὸ ἡ γῆ καὶ ὁ Οὐρανὸς, μίαν Ἐκκλησίαν, συσάμενοι παναρμόνιον. τὸ χαῖρε σοι βοῶμεν, χαῖρε Δέσποινα Κόσμου, χαῖρε παντῶν ἀνθρώπων βοήθεια.

Κλίνη σεπτὴ, τοῦ Σολομῶν προδιέγραψε, κυκλερμήνευτος, δυνατὸς ἐξήκοντα. χαῖρε Παρθένε ἡ κιβωτὸς, κεχαριτωμένη, τὸ νοητὸν ἁγιάσματος. λαβὶς ἡ θεία χαῖρε, χαῖρε βάτε πυρφόρε, χαῖρε πύλη, καὶ κλίμαξ καὶ γέφυρα.

Ῥαίνουσε Πάναγνε μόνιμον ἐῤῥάμμενος, ἐξ αἰῶνος, λόγος ὁ προάναρχος, τοῦ Γακὼβ, κόρη καλλονῆ, καὶ ἐν σοὶ σκηνώσας, δι' ἀσπλαγχνίαν ἀνέπλασε, τὴν φύσιν τῶν ἀνθρώπων. ὃν ἀσιωπήτοις ἀπαύστοις, ὑπὸ πάσης ῥυθμίσαι με θλίψεως.

Γῆ τῶν πιστῶν καύχημα, πέλεις ἀνύμφευτε, σὺ προστάτις, σὺ καὶ καταφύγιον, Χριστιανῶν, τεῖχος καὶ λιμὴν, πρὸς γὰρ τὸν Υἱόν σου, ἐντεύξεις φέρεις Παναμωμε, καὶ σώζεις ἐκ κινδύνων, τοὺς ἐν πίστει καὶ πόθῳ, Θεοτόκον Ἀγνὴν σε γινώσκοντας.

Ἄλλος. Εἰσακήκοα ὁ Θεὸς τὴν Ἀκολουθίαν σου.

Ἀφθαρσίας καταξιωθέντες, τῇ ἀπενδύσει τῶν γεώδους σκηνώματος Ἅγιοι, σὺν Ἀγγέλοις πάντοτε, τῆς τῶν Τριάδος θρόνῳ παρίστασθε.

Πολυώδυνα τῶν ψυχῶν, ἰᾶσθε πάθη, καὶ ἀῤῥωστίας τῶν σωμάτων θεραπεύετε, ἀσυλήτοι Ἀνάργυροι, ῥῶσιν χαριζόμενοι, καὶ τῶν λυπουμένων πάντων ἀνάκλησιν.

Οὓς προσρέχοντας εὐσεβῶς, ἐν τῷ Ἁγίῳ Ναῷ ὑμῶν, ἐπισκέψασθε Ἀνάργυροι, ῥῶσιν χαριζόμενοι, καὶ τῶν λυπουμένων πάντων μάψυξιν.

Θεοτοκίον.

Λαμπὰς τοῦ Θείου φωτὸς, ἡ ὑπερτέρα πάντων, ἡ τὸν ἄνθρωπον θεώσασα, ὡς Θεὸν κυήσασα, ἡ Θεοτόκος δοξάζεται.

Ἄλλος. Εἰσακήκοα Κύριε.

Ὁμοιώθης τῇ κτίσει σου, Θείοις Μαρτυρίοις Θεόφρον πάθεσι, καὶ λαμπροῖς στεφάνοις Ἐνδόξε, παραστὰς ἑστῶτος ὡς ἀπτοητος.

Φαντὸν ἐκ τῆς ὠδῆς σου, χάριτος ἱμάτιον νῦν ἐνδεδυσαι, τῆς φθορᾶς καὶ τῆς νεκρώσεως, τοὺς χιτῶνας Μάρτυς ἐκδυσάμενος.

Μέχις αἵματος Ἐνδοξε, πρὸς τὸν ἀμαρτίαν ἀγωνισάμενος, Νικηφόρος ἀναδέδειξαι, καὶ τῆς ἄνω δόξης κατηξίωσαι.

Θεοτοκίον.

Ἐπὶ σὲ ὁ Σωτῆρος, λόγος καταβέβηκεν Ἀειπάρθενε, ὥσπερ ὄμβρος καὶ ἐξήρανε, τῆς πολυθείας τὰ ὀμβρήματα.

Ὠδὴ, ε'. Ἵνα τί με ἀπώσω.

Νοεραὶ σαξαπέαν, καὶ πυραυνικὴν ἐναερίων φάλαγγα, παρελθεῖν ἀλύπως, ἐν καιρῷ τῆς ἐξόδου μου πάρεχε. ἵνα σοὶ τὸ χαῖρε, χαρμονικῶς Δέσποινα κράζω, χαῖρε πάντων ἐλπὶς ἀναταίσχυντε.

Ὡς χαρὰν συλλαβοῦσα, χαῖρε ὑπέραμωμε, χαῖρε ὑπέραγνε, χαῖρε τῆς Ἀγνείας πορφυρόχροον ἄνθος ἡδύπνοον, χαῖρε Παρθενίας, κοκκοβαφὲς ἐρυθρὸν ῥόδον, καὶ Θεοῦ τὸ διῶδες ὀσφράδιον.

Μυστικὴ μυροθήκη, χαῖρε τὸ ἡδύπνοον μύρον ἡβρύσασα, χαῖρε Θεία κελύφη, ἡ τὸ ὕδωρ τὸ ζὸν ἀναβλύζουσα, χαῖρε ἡ τὸν βότρυν, τὸν τῆς ζωῆς καρποφορήσασα, ἀγεώργητος ἄμπελος Δέσποινα.

Διόδευτε πύλη, χαῖρε δι' ἧς διώδευσε Χριστὸς ὁ Κύριος. Παραδείσου πύλας, ἡ ἀνοίξασα κόρη τῷ τόκῳ σου, χαῖρε δι' ἧς χαίρει, ὁ Οὐρανὸς καὶ γῆ χορεύει, ἡ τὰ ἄνω τοῖς κάτω συνάψασα.

Μητρικὴν παῤῥησίαν, τὸν πρὸς τὸν Υἱόν σου κεκτημένη Παναγνε, συγγενὲς φρονοίας, τῆς ἡμῶν μὴ παῤῥίδης δεόμεθα, ὅτι σὲ καὶ μόνην, Χριστιανοὶ πρὸς τὸν Δεσπότην, ἱλασμὸν κεκτημένη προβαλλόμεθα.

Μὴ ξοπάρθενε κόρη, Παράγνε Πανάμωμε θεοχαρίτωτε, ταῖς σαῖς ἱκεσίαις, τὸν Υἱὸν καὶ Θεόν σου καὶ Κύριον, ἐξιλέωσαί μοι, καὶ τῆς παθῶν καὶ τῆς πταισμάτων, τὸν σὸν δοῦλον ἐκλύτρωσαι τάχιον.

Ἄλλος. Ἀνάτειλόν μοι Κύριε.

Ἀνατολῆς ὁρμώμενοι, τῆς ὄντως φωτοδότιδος, οἱ κλεεινοὶ Χριστοῦ Ἀνάργυροι, φωτίζουσι τὸν κόσμον, ἰαμάτων λάμψεσι, καὶ τὸ σκότος λύουσι, τῆς παθῶν τὸ χαλεπόν.

Οἱ Νόσοις χειμαζόμενοι, καὶ πάθεσι πονούμενοι, καὶ ξυκυμίαις βυθιζόμενοι, ἀμέτρων συμπτωμάτων, δεῦτε καταφύγωμεν, τῇ λιμένι χαίροντες, τῆς Πανσόφων ἰατρῶν.

Τελά-

Τριάδα τὸν ἄῤῥητον, ποθήσαντες οἱ Ἅγιοι, ταύτης θεράποντες ἐδείχθησαν, διὸ ἐν συμπαθείᾳ, παύουν θεραπεύσι, τὰ δεινὰ νοσήματα, θαυμαζόμενοι ἀεί.

Θεοτοκίον.

Ἀνάτειλόν μοι Δέσποινα, ἀκτῖνα θείας γνώσεως, τῷ ἐν τῷ σκότει τῆς ἀγνωσίας δεινῶς συνεχομένῳ, καὶ πρὸς φῶς ὁδήγησον, μετανοίας ἄχραντε, πύλη ἁγία τοῦ φωτός.

Ἄλλος. Ὀρθίζοντες βοῶμέν σοι Κύριε.

Εἰνόμβρος τῇ λόγχῃ ἀοίδιμε Κωνσταντῖνε, τεμνόμβρος ἔρερες', θείοις ἐλπίσι νοερόμβρος.

Τιμέτοχος παθῶν τοῦ Δεσπότου σε χηματίσας, δόξης ἐκοινώνησας τότε, καὶ θείαις λαμπρότησιν.

Θεοτοκίον.

Ἀνάτειλόν μοι Παρθένε, τὸν ζῶσάν με ἁμαρτίαν, ζωὴν ἡ κυήσασα, τὸν θανατώσαντα θάνατον.

Ὠδὴ. ς'. Τὸν δέησιν ἐκχεῶ πρὸς Κύριον.

Ἐμψυχος χαῖρε Δέσποινα κόχλος, ἡ κογχύλη, σῶν ἀχράντων αἱμάτων, πορφυραυγῆ ἐρυθρὰν ἀλυργίδα, τῷ τὸ παντὸς βασιλεῖ πορφυρώσασα. τὸν ὑμνοῦσιν τὸν τὸ Ἀδὰμ, ἡ σκεπάσασα χαῖρε Πανύμνητε.

Τηλίζει μοι, τὰς καρδίας ἀνθρώπων, φυσικῶς, ὁ αἰθήτος ἄρτος κόρη· Χριστιανῶν τὰς ψυχὰς δὲ κρατύνει, τὸ σὸν ἀδόμβρον Ἅγιον Ὄνομα. ἐντεῦθον καὶ χαρμονικῶς, πᾶσα γλῶσσα, τὸ χαῖρε κραυγάζει σοι.

Τχνία ἡ χρυσαυγίζουσα χαῖρε, κιβωτὸς ἡ Θεοχώρητος χαῖρε, χαῖρε σκηνὴ, χαῖρε Ἅγιον Ὄρος, χαῖρε τὸ ζῶντος Θεοῦ πόλις ἔμψυχε, παλάτιον χαῖρε Χριστοῦ, χαῖρε τέμενος θεῖον πολύφωτον.

Πέραγνε ὑπέραμωμε χαῖρε, τὸ τῆς φύσεως ὑπέρτιμον ἄνθος, χαῖρε κοινὴ θρασασία τοῦ Κόσμου, φιλοτιμία, καὶ χάρις θεόδοτος. τὸν ἄτιμον φύσιν ἡμῶν, ἡ τιμήσασα χαῖρε τῷ τόκῳ σου.

Ἡ παύσῃ ὑπὲρ ἡμῶν πρεσβεύουσα, Παναγία Θεοτόκε Παρθενε. ὅτι πιστῶν σύνταγμα σὺ ὑπάρχεις, καὶ τῇ ἐλπίδι τῇ σῇ κραταιούμεθα. καὶ πόθῳ σὲ καὶ τὸν ἐκ σοῦ, σαρκωθέντα ἀῤῥήτως δοξάζομεν.

Ὁ Γ' κρύπτωσε τὸν βυθὸν τῇ ἐλέᾳ, καὶ τὴν βρύσιν τῶν ἀπείρων θαυμάτων, ἡ τὴν πηγὴν, τὸν ἀσίγαον ὄντως, τῆς πρὸς ἐμὲ συμπαθείας σου Δέσποινα. ἀλλὰ ἅπασιν ὁμολογῶ, καὶ βοῶ καὶ κηρύττω καὶ φθέγγομαι.

Ἄλλος. Ζ άλην με λογισμῶν καταλαβοῦσα.

Ῥύοντες ὡς πηγαὶ τὸ Σωτηρίῳ, ἰάσεων ἴαματα, ἐκπλύνετε πάντα ῥύπον νοσημάτων, ψυχῶν τε καὶ σωμάτων, Ἀνάργυροι φωστῆρες, τῆς οἰκουμένης ὑπέραμμοροι.

Ἅγιος ὁ Ναὸς ὑμῶν ὑπάρχει, θαυμασίοις κοσμούμενος καὶ σημείοις, ἐν ᾧ πᾶς τις προσερχόμενος ἐκ ψυχῆς, κομίζεται ῥῶσιν, ῥεωστικῶς μακαρίζων ὑμᾶς.

Ὡς δύο ἐκλάμπετε ἀστέρες, ἐν τῷ στερεώματι τῆς Ἐκκλησίας τῷ Χριστῷ, καὶ φωτίζετε πάντας ὀρθοδόξως, ἀκτῖσιν ἰαμάτων, Θαυματουργοὶ μεγαλώνυμοι.

Θεοτοκίον.

Ὡσον με ἡ τεκοῦσα τὸν Σωτῆρα, βυθὸς γὰρ σωτηρίας με ἁμαρτημάτων, καὶ χειμάζεμε κλυδώνιον ἡδονῶν, καὶ ζάλη τῶν Πνευμάτων, τῆς πονηρίας ἐκθλίβει με.

Ἄλλος. Γ λάθητί μοι Σωτήρ.

Ὑπέρμαχος πεφυκὼς, τῆς ὀρθοδοξίας θερμότατος, καὶ πλάνης σκληρότατος, εἰδώλων ζυγόμβρος, δαιμόνων φαντάσματα, καὶ παθῶν εἰκόνας, τῆς ψυχῆς μου ἐξαφάνισον.

Τερέωμά μου γενοῦ, καὶ τεῖχος Μάρτυς ἀσάλευτον, τὸ ἀθενὲς καὶ σαφρὸν, τὸ τῆς διανοίας μου, σκεπάζων Κωνσταντῖνε, ταῖς σαῖς πρεσβείαις, καὶ φυλάττων ἀδιάπτωτον.

Τρατείας φθοροποιοῦ, καὶ φθειρομένης ἠλόγησας, στρατείαν δὲ τῆς ζωῆς, Παμμάκαρ Κωνσταντῖνε, τελείως ἠγάπησας, ἐν ᾗ Νικηφόρος, ἀνεδείχθης ἀξιάγαστε.

Θεοτοκίον.

Ἐλαμψεν ἐκ σιῶν, ἡ τῶ ὑψίστω δωρεὰ, τὸ πρόσλημμα τῆς σαρκὸς, καθ' ὅσωσιν ἄφραστον, ἐκ σοῦ ἀπειρόγαμε, ἐξιβεβλημένη, καὶ τὸν Κόσμον κατελάμπρυνε.

Κοντάκιον, τῶν Ἀναργύρων. Ἦχος, β'.

Ὁ Γ' τὴν χάριν λαβόντες τῶν ἰαμάτων, ἐφαπλῶδε τὴν ῥῶσιν τοῖς ἐν ἀνάγκαις, ἰατροὶ Θαυματουργοὶ Ἔνδοξοι. ἀλλὰ τῇ ὑμῶν ὑπερασπίσει, τῶν πολεμίων τὰ θράση καταβάλετε. τὸν Κόσμον ἰώμενοι ἐν τοῖς θαύμασιν.

Ὁ Οἶκος.

Πάσης σοφίας καὶ σοφίας, ὑπάρχειται ὁ λόγος τῶν σοφῶν ἰατρῶν, τὴν ῥῶσιν γὰρ δωρεῖται πᾶσιν ἀφθόνως. ὅθεν καὶ μοὶ διηγήσεως χάρις δεδώρηται, ὑμνῆσαι ὡς Θεοφόρους, διαρέσεις Χειρῶν, καὶ θεράποντας, ἰαμάτων πλῆθη παρέχοντας, ἀλγηδόνων γὰρ πάντας λυτροῦνται. τὸν Κόσμον ἰώμενοι ἐν τοῖς θαύμασιν.

Ἕτερον τοῦ Ἁγίου Κωνσταντίνου. Ἦχος, γ'.

Κωνσταντῖνε σήμερον, τὴν ἱερὰν πανδοχίαν, οἱ πιστοὶ ἐν ἄσμασιν, ὑμνολογοῦμεν συμφώνως. Ἄγγελοι μετ' εὐφροσύνης σωμφδοκῶσι, Μάρτυρες μετ' εὐφροσύνης, νῦν συγκροτοῦσι. διὰ τοῦτο ἀνεδείχθη, Μαρτύρων κλέος ὑμνῶ καὶ καύχημα.

Ὁ Οἶκος.

Ὁ Στερρὸς ἀθλητὴς καὶ Ἱερὸς Κωνσταντῖνος, στρατιώτης τὸ πρὶν ὑπάρχων πρὸς ὀδηγίαν, ἐξῆλθε τῆς πλάνης καὶ τῆς ἀθείας. τὴν τῶν ἑλλήνων σκληρὰν θρησκείαν, καὶ ματαιότητα, καὶ μεγαλύνων πίστιν ἀκράδαντον, καὶ ἀληθινὴν τοῦ βασιλέως Χριστοῦ. ὑμφεσμένος ὥσπερ ὁπλίτης αὐτῷ, τὸν τίμιον Σταυρὸν, καὶ ἐγκαυχώμενος σφοδρῶς τοῖς παθήμασι τοῖς θείοις. ὅθεν πάντες ὁμοφρόνως ὑφυμνῶμεν. Μαρτύρων δόξα, ὑμνῶ καὶ καύχημα.



ΤΩ͂ ΑΥ͂ΤΩ͂ ΜΗΝΙ͂, Α΄.

ΜΝΗ΄ΜΗ ΤΟΥ͂ Α΄ΓΙΟΥ ΜΑ΄ΡΤΥΡΟΣ

ΚΩΝΣΤΑΝΤΙ΄ΝΟΥ

ΤΟΥ͂ ΘΑΥΜΑΤΟΥΡΓΟΥ͂.

Εἰ καὶ πατάσει, Κωνσταντῖνον τῷ ξίφει.
Καὶ νεκρὸς, ἐχθρὸν σὺ πατάσεις Κυρίε.
Πρώτη Γαλία Κωνσταντῖνος, τιμὴ κεφαλὴ ἐτμήθη.

Ο΄τοι οἱ Ἅγιοι, ὑπῆρχον ἀπὸ διάφορα μέρη, εἰς δὲ τὸν ἀριθμὸν ἦσαν τριακόσιοι. ἠπῆγον δὲ εἰς τὴν Ἁγίαν πόλιν Γ΄ερουσαλὴμ, διὰ νὰ προσκυνήσουν, καὶ ἀφ΄οῦ ἐπροσκύνησαν ὅλα τὰ ἁγιάσματα, ἐβγῆκαν ἀπὸ τὴν Γ΄ερουσαλὴμ, καὶ ἐπῆγαν εἰς τὴν ἔρημον τοῦ Γορδάνου, καὶ ἐκεῖ διέτριβον. ἐλθόντες δὲ μίαν τῶν ἡμερῶν ὅλοι εἰς τὸ Φοινίκαλον, εὗρον ἕνα πλοῖον καὶ ἐμβῆκαν ὅλοι μέσα, καὶ πλέοντες ἔφθασαν εἰς τὴν Φοίνικον νῆσον Κύπρον, εἰς τὸν λιμένα τῆς Πάφου. ὅμως τὸ πλοῖον βιαζόμενον ἀπὸ δυνατὸν καὶ μεγάλον ἄνεμον ἐτζακίσθη, οἱ δὲ Ἅγιοι θεία χάριτι, διεσώθησαν ὅλοι ἀβλαβεῖς, καὶ διεμερίσθησαν εἰς ὅλον τὸ Νησίον τῆς Κύπρου. ὁ δὲ Ἅγιος Κωνσταντῖνος μὲ καὶ ἑτέρων ξένων, ἦλθον εἰς ἕνα μέρος τὸ λεγόμενον τῆς Ξαχιάδος, καὶ ἐπεριπατοῦσαν Ἀποστολικά, καὶ ἐκήρυσσαν τὸν Χριστὸν Θεὸν εἶναι ἀληθινόν. ἀκούων δὲ τοῦτο ὁ ἡγεμὼν τῆς Κύπρου Σαβῖνος ὀνόματι, τοὺς ἐφυλάκισεν ἐμφροδσύτους, καὶ ἐξεπάζοντάς τους ὁμολόγησαν τὸν Χριστὸν Θεὸν ἀληθινὸν, καὶ μὴ ἀρνούμενοι, δέρνονται μὲ ὠμὰ βούδρα, ἔπειτα βάλλονται εἰς φυλακήν. καὶ τὴν ἄλλην ἡμέραν ἐπρόσταξε νὰ τοὺς σύγαλεν ἐμφροδσύτους, καὶ πάλιν μὴ πειθόμενοι νὰ θύσουν Θεῷ ἀλλοδόξῳ. προστάσει νὰ τοὺς κρεμμάσουν κατακέφαλα, καὶ νὰ καταξέουν

τοὺς

τὰς σάρκας αὐτῶν, ὡς τόσον ὁπῶ ἐκοκκίνισεν ὅλη ἡ γῆ ἀπὸ τὰ αἵματά τους. ἔπειτα πάλιν ἀπλώνονται ἐπάνω εἰς πυρωμένους ταύλες σιδηρᾶς, καὶ τότε γονομένου, ἔμειναν μὲ τὴν χάριν τοῦ ζωοδότου Χριστοῦ, ἀβλαβεῖς. μὲ δὲ ταῦτα, ἐκάρφωναν τὰ ποδαράκια τους, μὲ καρφιὰ, καὶ παρεβιάζον αὐτοὺς ἔχειν τάχους, μὲ δὲ ταῦτα προσεβλήθησαν ἐν φυλακῇ, καὶ μετὰ παρέλθουσιν τινῶν ἡμερῶν, προσάξει τοῦ ἡγεμώνος, ἤγαγον αὐτοὺς ὁπῶ τὸ Βήματος, ἀνελιβῶς δὲ ἐξεπάσας αὐτοὺς, καὶ δίρων ἀμπασαλόυτας, μᾶλλον δὲ σαθερὰς εἰς τὴν τοῦ Χριστοῦ πίστιν ἔδωκε τὴν ἀπόφασιν, καὶ ἔκοψαν τὰς κεφαλὰς αὐτῶν. κάποιοι δὲ ἀλλαβεῖς Χριστιανοὶ, διὰ νυκτὸς ἐπῆραν τὰ σώματα τῶν Ἁγίων, καὶ ἐθαψάντα ἐντίμως εἰς ἕνα χωρίον λεγόμενον ὁρμήδιαν. μὲ δὲ χρόνους ἱκανοὺς, ἐφανερώθησαν τὰ Ἅγια αὐτῶν λείψανα ὡς πηγὴ βρύουσα ἄφθονα ἰάματα, ὥστε ὁπῶ, καθ΄ἑκάστην ἄπειρα θαύματα ἐτέλουν καὶ διαφόρους νόσους καὶ πάθη ἐθεράπδυον, καὶ κωφοὶ παραυτίκα τὴν ἰατρείαν ἐλάμβανον δι΄ενεργείας τῶν Ἁγίων Λειψάνων. πρὸς τούτοις ὁ ἡγεμὼν τῆς Κύπρου τὸ τότε καιρὸ, σωνεχόμενος μὲ δυσεντερίαν ἦγεν διασμικὴν, καὶ κωφότατα τῶν ὠτίων του, ἐπῆγε μὲ πόθον εἰς τὰ τῶν Ἁγίων Λείψανα, καὶ ὢ τοῦ θαύματος, ἐν τῷ ἅμα ἔλαβε τὴν ὑγείαν του, καὶ ἐδόξαζε τὸν Θεὸν, τὸν δοξάζοντα τοὺς αὐτὸν ἀντιδοξάζοντας, καὶ ἐκχέοντας τὸ αἷμα αὐτῶν δι΄αὐτὸν, ὁ ὁποῖος Αὐθεντὴς, μὲ τὸ νὰ ἰαζδυθῇ καὶ ἀπὸ τὰς δύο τοῦ ἀθενείας, τὴν διασμικὴν λέγω, καὶ τὴν κωφότατα τῶν ὠτίων του, ἔκτισεν Ἐκκλησίαν μεγάλην ἐνθεμελίων, εἰς τὸ ὄνομα τοῦ Ἁγίου Κωνσταντίνου, τοῦ Θαυματουργοῦ, καθὼς τὸ μαρτυρεῖ καὶ τὸ μνήματα, ὁπῶ εἶναι εἰς τὸ δεξιὸν μέρος τοῦ Ἁγίου Βήματος τῆς Ἐκκλησίας, εἰς δόξαν καὶ ὕμνον τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Γησοῦ Χριστοῦ. γινώσκετε προσέτι, φιλοσεβεῖς Χριστιανοὶ, ὅτι ὅσοι ἀῤῥωσημένοι ἔρχονται μὲ πολλὴν καὶ μεγάλην δλάβειαν, ἰατρεύονται ἀπὸ κάθε λογῆς ἀθενείαν, διὰ προσευχῶν καὶ ἱκεσιῶν, τοῦ Ἁγίου Ἐνδόξου Μεγαλομάρτυρος Κωνσταντίνου. ταῖς αὐτοῦ Ἁγίαις προσευχαῖς, ὁ Θεὸς ἐλέησον, καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ω΄δὴ, ζ΄. Θεοῦ συγκατάβασιν.

Μόνη ἀπείρανδρος, ἡ μόνη ἄφθορος χαῖρε. Δέσποινα, ἡ Παρθένος καὶ Μήτηρ, ἡ παιδοτόκος καὶ ἀπειρόγαμος, τὸ ξένον χαῖρε, καὶ φρικτὸν μυστήριον, χαῖρε Ἀγγέλων τρυφὴ, χαῖρε ἀνθρώπων χαρά.

Γῆ πόλις ἐμύχε, τὸ βασιλέως τῆς βασιλέων Χριστὸ, ᾧ ἧς ἐλαλήθη δεδοξασμένα, χαῖρε Θεόνυμφε, χαῖρε ἡ κλίμαξ, δι' ἧς μεταβαίνομεν πρὸς Οὐρανὸν ἀπὸ γῆς, καὶ ἐκ φθορᾶς εἰς ζωήν.

Ἅ Ειμὼν θεοφύτευτος, ὑώδης κῆπος θεοβλάστητος, ἀνέδειξε Θεὸς Παρθένε, ἀθανασίας ἄνθος βλαστήσασα. διὸ συμφώνως τὸ χαῖρε σοι κράζομεν, χαῖρε χαρᾶς χορηγὲ, χαῖρε πηγὴ γλυκασμοῦ.

Ὑ Πέρτιμε Δέσποινα, ἐξ ἀτίμας παθῶν με λύτρωσαι, ἵνα σοι χαριστηρίως τὸ χαῖρε κράζω, χαῖρε Ἀγνείας πηγὴ, χαῖρε ταμεῖον πάσης καθαρότητος, χαῖρε δοχεῖον Θεοῦ, χαῖρε χωρίον Χριστοῦ.

Ν Ενέκρωμαι Παῖαγνε, τῆς ἁμαρτίας πιὼν τὸ φάρμακον, καὶ προσρέχω σοι πίστει, τῇ τεκούσῃ τὸν ἀρχηγὸν τῆς ζωῆς. τὰς σὰς πρεσβείας τὸν δοῦλον σε ζώωσον, καὶ πειρασμῶν καὶ παθῶν, λύτρωσαι μόνη Ἁγνή.

Ῥ Ῥήτῳ κυήσεισσα, φευκτῶν ἀῤῥήτων ἡμᾶς ἐξίωσας, Θεοτόκε πραγμάτων, διὸ φευκτῆς με ῥῦσαι κολάσεως, καὶ τῆς ἀῤῥήτε χαρᾶς καταξίωσον, ἵνα ὑμνῶσε ἀεὶ, τὸν πολυύμνητον.

Ἄλλος. Τὸ παλαιὸν εἰκόνι τῇ χρυσῇ.

Ὁ Λαὸς ὁ τοῦ Θεοῦ, σωματροιζόμενος πίστει, ἐν τῷ τεμένει ὑμῶν Μακάριοι, τὰς δωρεὰς ὑμῶν καταγγέλλει, τὰς ἰάσεις ὑμνεῖ, ἀνδρείως περιφανῶς, τὸν ζόφον τὸν σκοτεινὸν, καὶ μακαρίζει ἀεὶ, τὸν πολιτείαν τὸν σεπτόν.

Λ Εῦτε ἴδωμεν τὸν πηγὸν, πίστει θαυμάτων ῥεῖθρα πηγάζοντα. καὶ τῷ Κυρίῳ ἐν εὐφροσύνῃ ἐκβοήσωμεν ὁμοῦ, ὡς θαυμαστὸς εἶ Θεὸς, ὃς ἔδοξε τέτρατα ἔθνη τῶν γῆς, διὰ τῶν σῶν θεραπόντων.

Ῥ Ῥαιώθη ὁ ναὸς, τῶν Ἱερῶν Ἀναργύρων, ἐν θαυμασίοις πολλοῖς καὶ τέρασι, ἐν ᾧ ποικίλα ἰῶνται πάθη, τῶν ἐν πίστει ἀκλινῶς προσερχομένων ἐν αὐτῷ, καὶ τῷ Θεῷ ὕμνεσιν ἀναπεμπόντων ἀεὶ, ὡς χορηγοῖ τῶν ἀγαθῶν.

Θεοτοκίον.

Κ Αταβαίνεται Χριστὸς, ὡς ὑετὸς ἐπὶ πόκον, ἐν τῇ γαστρί σου Θεοχαρίτωτε, καὶ τὸς χειμάῤῥους τῆς ἀνομίας, καταπαύσει ὡς Θεὸς, καὶ

καὶ ἀφθαρσίαν καὶ ζωὴν, πηγάσει τοῖς μέλπουσιν, εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ἄλλος. Παῖδες Ἑβραίων ἐν καμίνῳ.

Φ Έγγει τῆς ἄνω φρυκτωρείας, αὐγαζόμενος γενναίως στρατιῶτα. τὰς ὑμνῳδίας σε νῦν, φωτίζεις μελῳδοῦντας, εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ὑ Μνοις τῶν πάντων ἐργάτιν, πυρακτέμονα τῶν ζήλῳ τότε Μάκαρ. καὶ πυρὶ αἰθητῷ, φλεγόμενος καὶ μέλπων, εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ἅ Ἷμασιν αἷμα συγκεράσας, σὸν τὸ τίμιον Δεσπότα φιλανθρώπε, κοινωνὸς τῶν αὐτὸν ἐδιήχθης παθημάτων. ἀναβοῶν Μακάριε, ὁ Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Τ Ἄξεις Ἀγγέλων καταπλήττει, μυστήριόσε τὸ βάθος Θεοτόκε. ὁ Θεὸς γὰρ ἐκ σοῦ σαρκούμενος ὤφθη. ᾧ μελῳδοῦμεν Κύριε, ὁ Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ, ἡ. Ε' πταπλασίως κάμινον.

Ν Ενεκρωμένῳ ζώωσον, συμπαθείσαν ἀνάστησον, τεθαυματισμένῳ, τὸν ψυχόν με ἴασαι, τὸν νοῦν με ἐρρύσθμισον, τῶν πειρασμῶν τὰ κύματα, φαίδυνον Παρθένε, καὶ βοῶντα με σῶσον. οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ὑμνεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὡ Σὶν ὀλισθὼν κραυγάζω σοι, μνήσθητί με φιλάνθρωπε, κλαίω ὡς ἡ πόρνη, καὶ βοῶ σοι ἥμαρτον, ὡς πάλαι ὁ ἄσωτος, μεταποιοῦντα δέξαι με, τὸν ἀπεγνωσμένον, διὰ τῆς Θεοτόκε, προθύμως ἵνα μέλπω. Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἐ Κετικῶς βοῶμέν σοι, Θεοτόκε Παρθένε, μετὰ τῶν ἀπείρων νοερῶν δυνάμεων, μαρτύρων Ὁσίων τε, καὶ Ἀποστόλων καὶ Προφητῶν, ποίησον πρεσβείαν, ὑπὲρ πάντων τῶν πίστει, ἐνθέως μελῳδούντων. Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὅ Λως ἀδύτε γέγονας, ἐν διαίτημα παῖαγνε, τῆς Παρθενίας, καλλονῆς ἀπράπτωσα, καὶ πάντας κατηύγασας, τοὺς Θεοτόκον σε ἀληθῆ, καθομολογοῦντας, ἐκ ψυχῆς καὶ βοῶντας. οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ὑμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Δι-

Λόγον Θεὸν τὸν ἄναρχον, καὶ πατρὶ συναΐδιον, τὸν ἐκ τῆς μὴ ὄντος, πατρικῷ βουλήματι, τὸ παῦ συσπάμενον, θεοπρεπῶς γεγέννηκας, σάρκα γενόπα δι' ἡμᾶς τὰς ἀνθρώπας. διό σε Θεοτόκον, ὀρθοδόξως φρονοῦμεν. Χεισὸν ὑπερυψοῦντες, εἰς πάντας τοὺς αἰῶνας.

Ἑρωτέρα πέφυκας, Θεοτόκε Παναμωμε, τῆς ὑπερκοσμίου, τῆς Ἀγγέλων τάξεως. τὸν τόπον γὰρ τέτοκας, δημιεργὸν καὶ Κύριον, ἐκ Παρθενικῆς, ἀπειρογάμου νυδύος, ἐν δύω ταῖς ὐσίαις, ἀσυγχύπως ἀξέπτως, μιᾷ δὲ ὑποσάσει, Θεὸν σεσαρκωμένον.

Ἄλλος. Γ ἢ καὶ πάντα τὰ ἐν αὐτῇ.

Νῦν οἰκοῦντες ἐν Οὐρανοῖς, ἐκτήσασθε πολίτευμα σαφῶς, ἀγωνισάμενοι καλῶς, καὶ τὸν ὄφιν καταβαλόντες, καὶ χάειν λαβόντες, τὸ ἰᾶσθαι βροπῶν νοσήματα, εἰς δόξαν καὶ αἶνον, Ἀνάργυροι Κυείου.

Δικαιόγετε ὀφθαλμοὶ Ἅγιοι, ἐντεῦξει πρὸς Θεὸν, χωλοῖς παρέχετε σαφῶς εὐδρομίαν, καὶ παρειμένοις ὑγείαν τελείαν, θαυμαζόμενοι πίσει Ἀνάργυροι. ὅθεν καὶ χέος, ὑμᾶς ἀνευφημοῦμεν.

Ὡς Παράδεισος νοπὸς Ἅγιοι, γνωρίζεται ἡμῖν ἔπος ὁ οἶκος, μυσικῶν ὠδῶν ἀεὶ προσφέρων τῷ ἐνθέῳ χάειν, ὧν ὑμῖν Γησοῦς ἐχαείσατο, κατευωδιάζων ἡμῶν τὰς διανοίας.

Θεοτοκίον.

Ἐξ αἱμάπων σου Γερῶν, σεσάρκωται ὁ πλασεργὸς ἁπάντων, καὶ σοῦ προῆλθεν ἐκ γαστρὸς, σὲ Παρθένον διαφυλάξας. ὦ θαῦμα θαυμάπων, ὦ καινῶν μυσηείων φανέρωσις, ἐν σοὶ πεφραγμένων, εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος. Ε' πλαπλασίως κάμινον.

Ἀντοδαπαῖς Παναγνε, ξενιπείαις κυκλούμενοι, καὶ ταῖς συμφοραῖς τὸ βέος σωζόμενοι, προσάτευε ὀξύπατον, καὶ σωτῆρα καὶ σύμμαχον, πάντες οἱ πισοί σε, πρεσβεύτριαν τοῦ δεσπότου, προσφέρομεν βοῶντες, μὴ ἐλλείπῃς πρεσβεύειν, ὑπὲρ τῶν ὑμνούντων, τὴν παρθενπόκον σου μνήμην.

Μαρτύρων ἀλύσεσι, δεδεμένος Παυόλβιε, καὶ ταῖς τῶν πταισμάτων μου σειραῖς πεδούμενος. προσφεύγω τῇ σκέπῃ σου, σεφανηφόρε λύσιν αἰτῶν, ἄλλως θαυμαστὸν, τῶν πρὸς τὸν ὅλων Δεσπότην, θεόφρον παῤῥησίαν, κεκτημένος δυσώπει, σωθῆναι τοὺς ὑμνοῦντας, χειστὸν εἰς τοὺς αἰῶνας.

Μαρτυρικαῖς λαμπόμενος, ἀγλαΐαις παναγνε, ταῖς Ἀγγελικαῖς, σωπεισθμήθης τάξεσι, μεθ' ὧν ἀγαλλόμενος, καὶ συγχορεύων Μάρτυς ἀεί. θαυματοποιίαις ἰαμάτων φαιδρύνεις, τοὺς πόθῳ σε τιμῶντας, καὶ πισῶς μελωδοῦντας. λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Μετὰ σαρκὸς ὡμίλησε, τοῖς ἀνθρώποις, ὡς εὔσπλαγχνος, ὁ δημιεργὸς καὶ λυτρωτὴς τῆς κτίσεως, ἐκ σοῦ ἀπειρόγαμε, Θεογεννήτορ παύτῃ λαβών. ὅθεν Θεοτόκον, οἱ πισοὶ σὲ Κυρίως, δοξάζουσι βοῶντες, καὶ πισῶς μελωδοῦντες, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ, θ'. Ἔφριξε πᾶσα κτίσις.

Δεῦτε πᾶσαι γενεαὶ, μακαρίζωμεν τὸν ἀειμακάριστον, ὡς προεφήτευσας, Θεογεννήτορ ἐκ Θείου Πνεύματος. καὶ ὡς τεκοῦσα τὸν χαρᾶν, τὸ χαῖρε βοῶμέν σοι, χαῖρε ζωῆς θησαυρὲ, χαῖρε κρίνον, ψυχικὸν μέλι βρύουσα.

Ῥῆσας Δέσποινα Ἁγνὴ, τὸ προπάτορος Ἀδὰμ τὸ ὀλίθημα, καὶ τῆς προμήτορος Εὔας τὸν λύπον, εἰς χαρὰν ἔτρεψας. ὡς ἔν αἰτία τῆς χαρᾶς, τὸ χαῖρε βοῶμέν σοι, χαῖρε χαρὰ τῶν πισῶν, χαῖρε τῶν Χεισιανῶν ἀγαλλίαμα.

Ξιον χαῖρε σοι βοᾶν, ἐν σοὶ τῷ θεῷ σωθῶς, ἡ ἀείδιος χαρὰ ἐσκήνωσε, Παρθενε κόρη θεογεννήτρια. χαῖρε ἀδύδειτε ξυφῆς, χαῖρε ἡ χρυσόρειθρος ἀθανασίας πηγὴ, χαῖρε νέκταρ ἀληθὲς ἡ προχέουσα.

Γάσει με βέλει γλυκερῷ, τὸν καρδίαν ὁσὸς πόθος πανάμωμε. καὶ ἐκ βιάζει με, χαῖρε σοι κράζειν, διὰ παντὸς καὶ βοᾶν, χαῖρε γαλυὴν καὶ λιμὼ, χαῖρε ἡ ποντίσασα τὸν νοητὸν Φαραὼ, γλυκυτάτῃ ἀδιάβατος θάλασσα.

Ὠτισον πύλη τὸ φωτὸς, τῆς καρδίας μου τὰ ὄμματα δέομαι, ἅπερ ἡμαύρωσε, τῆς ἁμαρτίας σκότος βαθύπατον, καὶ μετανοίας μοι αὐγὴν, καπάπεμψον Δέσποινα, καὶ αἰωνίως πυρὸς, μεσιτείαις σου Ἁγνὴ ἐλυθέρωσον.

Ῥίπτωσι μόνε Βασιλεῦ, τὸν δυτέραν παρυσίαν καὶ δέδοικα, ὅλος κατάκειτος, ἠπορημένος ὑπάρχων Κύριε. διὸ προτέλευσον βοῶ, διὰ τῆς τεκούσης σε, φεῖσαι καὶ σῶσόν με, ἐλεῆμον ἀγαθὲ καὶ φιλάνθρωπε.

Ἄλλος. Ε΄ ποίησε κράτος, ἐν βραχίονι.

Ὡς μέγιστος ἔπος, ὁ Πανάγιος Ναὸς Ἀναργύροι, φῶς ὃν ὑπεφοίτησε, μεγάλα καὶ φοβερὰ, ἐπετελεῖτε ἀληθῶς, σημεῖα καὶ τέρατα σοφοί. διὸ μεγαλοφώνως σπουδάσαντες, σήμερον ὑμᾶς δοξολογοῦμεν.

Συνάξωμεθα πάντες νῦν χορεῖς πνευματικοὺς, δοξάζοντες κοσμοῦντα τὸν Θεόφρονα, Δαμιανὸν τὸν κλεινὸν, τῷ διάδοχα τῷ σεπτῷ, δοξάσαντες ἔργοις ἀγαθοῖς, τὸν τοῦ παντὸς Δεσπότην, καὶ Θεὸν καὶ Κύριον, καὶ Σωτῆρα πάντων.

Ἠνέωκται πᾶσιν ἰατρεῖον ὑπὲρ γῆς, ὁ Ἅγιος τῶν Ἀναργύρων οἶκος, τῇ προσφοιτήσει αὐτῶν, ὑποπαύων πυρετὸς πνευμάτων λυττώμενος δεινῶν τοὺς κακοπονουμένους, καὶ παντοίαν ἴασιν χορηγῶν ἀνθρώποις.

Θεοτοκίον.

Φανεῖσα Παρθένε τῶν Χερουβὶμ ἀνωτέρα, ἀνώτερον ἀπέργασαι τὸν ὠδῖνα, τῶν σαρκικῶν ἡδονῶν, καὶ τοῦ βίου πειρασμῶν, καὶ δίδυμα βαδίζειν ἀσφαλῶς, τοὺς σωτηρίους τρίβους, τοὺς φέροντας ἄχραντε πρὸς τὴν ἄνω πόλιν.

Ἄλλος. Ε΄ φθέγξε πᾶσα ἀκοή.

Τοὺς χῶρες νῦν μαρτυρικῶν, δωδίαν ἀναπέμπουσι χάριτι, καὶ τὰ δυσώδη ἡμῶν, ἀῤῥήτῳ λόγῳ πάθη διώκουσιν, ἀναπηγάζει τὰ ὁσά, ἰάσεων νάματα, καὶ καταρδεύει ψυχὰς, τῶν ὑμνούντων τὰ αὐτῶν προτερήματα.

Ὡς μέγαν πῦργον τῆς Χριστοῦ Ἐκκλησίας, ἱερῶς σε γεραίρομεν. ὡς σύλον ἄσυλον, καὶ ὥσπερ τεῖχος ὄντως ἀπόρθητον, ὡς στρατιώτην δὲ σεβάσμιον, Θεοῦ τὰ παντάνακτος, ὡς καθαιρέτην ἐχθρῶν, ὡς φωσφόρα νοητὸν ἐν τοῖς πέρασι.

Ἡμέρα πλήρης φωτισμοῦ, εὐφροσύνης καὶ χαρᾶς ἡμῖν ἔλαμψεν, ἣν θεία μνήμη σε, τοῖς σὲ τιμῶσι Μάρτυς Κωνσταντῖνε, μεθ' ὧν μνημόνευε ἡμῶν, ἐκ πάσης αἱρέσεως καὶ χαλεπῶν πειρασμῶν, καὶ κινδύνων καὶ παθῶν ἡμᾶς λύτρωσαι.

Θεοτοκίον.

Φώτισον πύλη τοῦ φωτὸς, τοὺς τυφλώττοντας ψυχῶν μου τοῖς πάθεσι, καὶ πονηροῖς λογισμοῖς, ἐσκοτισμένους καὶ κινδυνεύοντας. καὶ ἐξελοῦ με πειρασμῶν κινδύνων καὶ θλίψεων. ἵνα δοξάζω σε, τὴν ἐλπίδα τῶν πιστῶν καὶ καταφύγιον.

Ἐξα-

Ἐξαποστειλάριον. Ἐν Πνεύματι τῷ Ἱερῷ.

Τὴν χάριν τῶν ἰάσεων, ἐκ Θεοῦ εἰληφότες, Ἀνάργυροι Μακάριοι, τοῦ ἰᾶσθαι τὰς νόσους, καὶ θεραπεύειν ἅπαντας, τοὺς πιστῶς προσερχομένους, τῷ θείῳ ὑμῶν τεμένει, διὰ τοῦτο συμφώνως, μακαρίζομεν ἀξίως, τὴν σεπτὴν ὑμῶν μνήμην.

Ἕτερον τοῦ Μάρτυρος.

Γυναῖκες ἀκηδέσατε.

Τοῖς πᾶσι τὰ χαρίσματα, τῶν ἰαμάτων Ἅγιε, σὺ θαυμασίως παρέχεις, Κωνσταντῖνε Ἀθλοφόρε, ὡς ἔχων πρὸς τὸν Κύριον, τὴν παῤῥησίαν πάντοτε, τοὺς ἐκ θερμῆς σε πίστεως, προσκαλουμένους προφθάνων, καὶ διασώζεις σοὺς δούλους.

Θεοτοκίον.

Ταῖς σαῖς ἀγκάλαις ἄχραντε, βαστάσασα τὸν Κύριον, τὸν τῇ ἀχράντῳ παλάμῃ, διακρατοῦντα τὰ πάντα. αὐτὸν Θεομακάριστε, ἱκέτευε ῥυσθῆναι με, χειρὸς δολίας δράκοντος, τὴν παρανυμφίαν καρδίαν, ἐξ ἡδονῆς ψυχοφθόρου.

Εἰς τοὺς αἴνους, εἰσοδικὰ προσόμοια, δ΄. ἦχος, ά.

Τῶν Οὐρανίων ταγμάτων τὸ ἀγαλλίαμα.

Τῇ, παμφαεῖ πανηγύρει τοῦ Θείου Μάρτυρος, δεῦτε πάντες, καὶ πιστῶς ἐφαπλώσωμεν. φιλέορτοι τιμῶντες, φαιδρὰν ἑορτὴν, τῆς αὐτοῦ τελειώσεως, ἀσματικῶς ἀνυμνοῦντες τὸν Γηγενῆ, τὸν δοξάσαντα τὸν Μάρτυρα.

Τὸν ἀειθαλῆ τῆς ἄνω πολιτείας πιστοὶ, ὡς καρτερὸν ὁπλίτην, τῆς ἡμῶν πολιτείας, συμφώνως σπουδάσαντες, ᾠδαῖς μυσταικαῖς, ἐφυμνήσωμεν, λέγοντες, Θαυματουργὲ Κωνσταντῖνε Μάρτυς Χριστοῦ, ἀπάλυνε τῶν ὑμνούντων σε.

Τὴν δυσσεβείας τῶν πλοῦτον καὶ τὸ λαμπρόπαν, ἀθλητικοῖς κατέπατοις, ἑαυτῷ θησαυρίσας. πᾶσαν τὸν ἰσχύσε, δῶρον Θεοῦ, σεαυτὸν προσευπρόσδεκτος. ἀπλήρωτος ἐν τοῖς ἔργοις μὴ ἀπεδῆς, τὸν θεοδώρητόν σε πρόσκλησιν.

Δόξα. ἦχος, δ΄.

Τοῦ Μεγάλου Βασιλέως Χριστοῦ τοῦ Θεοῦ, στρατιῶτα Κωνσταντῖνε. χαῖρε καὶ εὐφραίνου, Θεῷ γὰρ εὐηρέστησας, πάντων καταφρονήσας, διὰ ζωὴν τὴν αἰώνιον. ἐν Οὐρανοῖς γὰρ τὸ σῶμα σου, πᾶσαν νόσον ἀπελαύνει ἐξ ἀνθρώπων, Χριστὸν ὃν ἐπόθησας, αὐτὸς σὲ δοξάζει μακάριε.

Καὶ

Καὶ νῦν.

Ἐκ παντοίων κινδύνων τὰς δούλας σου φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα σὲ δοξάζωμεν τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν Τυπικά, καὶ ἐκ τοῦ Κανόνος τῆ Ἁγίᾳ.

Ὠδὴν γ'. καὶ ς'. Ἀπόστολον, καὶ Εὐαγγέλιον.

Ζήτει τὴν, κγ'. τῆ Ἀπριλίῳ Μηνός.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον ἔσαι δίκαιος.

Δίδοται καὶ Ἅγιον ἔλαιον, ἐκ τῆς Καντήλας τῆ Ἁγίᾳ.

ΤΕΛΟΣ, τῆς Ἀκολουθ. τῶν Ἁγίων Ἀναργύρ. Κοσμᾶ καὶ Δαμιανοῦ, Καὶ τῆ Ἁγίᾳ Μάρτυρος Κωνσταντίνᾳ.

